### 35 (33 B.)

*Ἔρως ποτ᾽ ἐν ῥόδοισι*
*κοιμωμένην μέλιτταν*
*οὐκ εἶδεν, ἀλλ᾽ ἐτρώθη.*
*τὸν δάκτυλον παταχθείς*
*τᾶς χειρὸς ὠλόλυξε,*
*δραμὼν δὲ καὶ πετασθείς*
*πρὸς τὴν καλὴν Κυθήρην*
*'ὄλωλα, μῆτερ,' εἶπεν,*
*'ὄλωλα κἀποθνήσκω·*
*ὄφις μ᾽ ἔτυψε μικρός*
*πτερωτός, ὃν καλοῦσιν*
*μέλιτταν οἱ γεωργοί.'*
*ἃ δ᾽ εἶπεν· 'εἰ τὸ κέντρον*
*πονεῖς τὸ τᾶς μελίττας,*
*πόσον δοκεῖς πονοῦσιν,*
*Ἔρως, ὅσους σὺ βάλλεις;'*

### 36 (34 B.)

*Ὁ Πλοῦτος εἴ γε χρυσοῦ*
*τὸ ζῆν παρεῖχε θνητοῖς,*
*ἐκαρτέρουν φυλάττων,*
*ἵν᾽ † ασθενεῖν ἐπέλη †*
*λάβηι τι καὶ παρέλθηι.*
*εἰ δ᾽ οὖν μὴ τὸ πρίασθαι*
*τὸ ζῆν ἔνεστι θνητοῖς,*
*τί καὶ μάτην στενάζω;*



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id408079479/35 UNIVERSITÄT LEIPZIG